www.tezaurliturgic.ro

+

**ΤΡΟΠΑΡΙΑ ΕΙΔΙΚΑ**

**ΕΠΙ ΤΗ͂ 800ΕΤΗΡΙΔΙ ΤΗΣ ΣΥΝΑΝΤΗΣΕΩΣ**

**ΕΝ ΤΗ͂ Ι. Μ. Μ. ΒΑΤΟΠΑΙΔΙΟΥ**

**ΤΩΝ ΟΣΙΩΝ & ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ**

# ΣΑΒΒΑ ΚΑΙ ΣΥΜΕΩΝ,

**ΤΩΝ ΣΕΡΒΩΝ,**

**ΚΤΙΤΟΡΩΝ ΕΙΤΑ ΤΗΣ Ι.Μ.ΧΙΛΑΝΔΑΡΙΟΥ ΓΕΝΟΜΕΝΩΝ.**



* 1997 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ




## ΤΡΟΠΑΡΙΑ ΕΙΔΙΚΑ ΕΠΙ Τῌ 800ΕΤΗΡΙΔΙ ΤΗΣ ΣΥΝΑΝΤΗΣΕΩΣ ΕΝ Τῌ Ι. Μ. Μ. ΒΑΤΟΠΑΙΔΙΟΥ ΤΩΝ ΟΣΙΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ ΣΑΒΒΑ ΚΑΙ ΣΥΜΕΩΝ, ΚΤΙΤΟΡΩΝ ΕΙΤΑ ΤΗΣ Ι.Μ.ΧΙΛΑΝΔΑΡΙΟΥ ΓΕΝΟΜΕΝΩΝ.

* * *

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν στιχηρὰ δ΄ ἀναστάσιμα, γ΄ τῆς φυλλάδος καὶ τὰ γ΄ εἰδικὰ ἑπόμενα.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ὡς τῆς ὀγδόης ἡμέρας, ἁγιαστήριον, Μονὴ Βατοπαιδίου, τὴν ὀγδόην γεραίρει, ἑκατονταετίαν τῆς εὐκλεοῦς, ἐν αὐτῇ συναντήσεως, Σάββα τοῦ θείου καὶ γέροντος Συμεών, γένους Σέρβων ὁδηγῶν πρὸς Θεόν.

Ἡ Βασιλὶς Ὄρους Ἄθω, Σάββα θεσπέσιε, καθάπερ σε ἀγκίστρῳ, πρὸς τὴν ἄγραν πατρός σου, ἐχρήσατο πανσόφως, ἵνα ὁμοῦ, συμφυλέταις ἐγείρητε, Χιλανδαρίου τὴν λαύραν τὴν ἱεράν, καὶ Αὐτῆς τερπνὸν παλλάδιον.

Βατὸν ἐδείξατε δρόμον, τῆς βασιλείας Θεοῦ, τοῖς πᾶσιν ὦ Πατέρες, Συμεών τε καὶ Σάββα, προσκαίρου βασιλείας, δόξαν κενήν, ἐκ συμφώνου ἀφήσαντες, καὶ ἐν τῷ Ὄρει τοῦ Ἄθω τὴν ταπεινήν, μοναστῶν ὁδὸν βαδίσαντες.

Ἀπολυτίκιον εἰδικόν. Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.

Βασιλείαν ποθήσαντες τὴν αἰώνιον, βασιλείας προσκαίρου κατεφρονήσατε, Σάββα σοφὲ καὶ Συμεών, γένους τῶν Σέρβων φωτισταί, τῆς Βασιλίδος δ᾽ οὐρανῶν, Περιβολίου οἰκισταί, καὶ Μάνδρας Βατοπαιδίου, ἥτις ἐπέτειον θείαν, ὑμῶν γεραίρει συναντήσεως.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Οἱ κανόνες κατὰ τὴν τάξιν καὶ εἶτα ὁ παρών, οὗ ἡ ἀκροστιχίς:**

*“Σάββα τε καὶ Συμεὼν συνάντησιν αἰνέσω . ᾿Α(θανάσιος)”.*

᾿Ωδὴ α΄. Ἦχος δ΄. ᾿Ανοίξω τὸ στόμα μου.

Σοφῶς μελετήσαντες, ἀπάτην βίου θεόφρονες, προθύμως ἐλίπετε κόσμου δοξάριον, διὰ Κύριον, τὴν ἄσειστον ἐλπίδα, ὦ Σάββα μακάριε, καὶ Συμεὼν θαυμαστέ.

᾿Αγάλλεται σήμερον, μνήμην ὑμῶν συναντήσεως, φαιδρῶς ἑορτάζουσα, Βατοπαιδίου Μονή, ἐν ᾗ δόλιχον, ἀσκήσεως Πατέρες, ὁμοῦ ἠγωνίσθητε, Χριστὸν θηρώμενοι.

Βατὸν ἀπεδείξατε, τοῖς βασιλεῦσι καὶ πένησι, τὸν δρόμον θεώσεως, ὦ Σάββα καὶ Συμεών, βίον ζήσαντες, ἐν τῇ Βατοπαιδίου, Χριστοῦ ταπεινώσεως, οἱ πρῴην ἄρχοντες.

Θεοτοκίον

Βασίλισσα ἔνδοξε, Ὄρους τοῦ Ἄθω ὑπάρχουσα, ἐν τούτῳ προσείλκυσας, τῶν Σέρβων τοὺς βασιλεῖς, Σάββα τίμιον, καὶ Συμεὼν θεόνουν, ὧν θείαν συνάντησιν, σήμερον μέλπομεν.

᾿Ωδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

᾿Απάτῃ καλῇ ἐξαπατήσας, γονεῖς σεαυτοῦ Σάββα σοφέ, ἠπάτισαι τῷ ἔρωτι, τῶν μοναζόντων σχήματι, καὶ πεπληγὼς ὡς ἔλαφος, Ὄρος τοῦ Ἄθω κατείληφας.

Τρωθεὶς τῇ ἀγάπῃ τοῦ Δεσπότου, ἀπέῤῥιψας βίου ἡδονάς, ὦ Σάββα ἐνθεώτατε, καὶ μελανὰ ἐφόρεσας, ἀντὶ πορφύρας ὅσιε, ποθῶν ἑλκύσαι Ἥλιον, τῇ φλεγομένῃ καρδίᾳ σου.

᾿Ενίκησας ἅπαντα συλλήβδην, τὰ θήρατρα δόξης θαυμαστῶς, Σάββα καὶ ἠλευθέρωσαι, ὥσπερ ἐκ πάγης ὄρνεον, καὶ πρὸς Χριστὸν ἐπέτασας, ὡς ἀετὸς πνευματέμφορος.

Θεοτοκίον

Καλὴ Περιβόλου σου ἡ δόξα, καλὴ καὶ ὑπέρκαλλος ἐστί, Παρθένε Παναμώμητε, ὥστε ποιεῖ ἀρνήσασθαι, καὶ βασιλεῖς βασίλεια, ἵνα ὁμοῦ βασιλεύσωσι, τῷ γεννηθέντι ἐκ μήτρας σου.

᾿Ωδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

῎Ασκησιν ἠγάπησας ἐκ ψυχῆς, Σάββα ἱερὲ καὶ φιλόχριστε, ὅθεν ἐλλάμψεις, εἰς τὸν νοῦν σου τὸν ἁγνόν, φωτὸς ἀκτίστου δέδεξαι, καὶ διὰ θαυμάτων δεδόξασαι.

῎Ιδιον οὐκ ἔχοντες παρ᾿ ὑμῖν, ἀκτησίαν θείαν φυλάττοντες, πλούτου τρυφᾶτε, νῦν πλουσίως ἐκ Θεοῦ, ἐξ οὗ ἡμῖν μετάδοτε, Σάββα Συμεών τε τρισόλβιοι.

Συμεὼν χριστόψυχε βασιλεῦ, σοῦ υἱοῦ πεισθεὶς θείοις γράμμασι, σὺν τῇ συζύγῳ, ἀπηρνήσασθε κενήν, δόξαν καὶ ἀνελάβετε, σχῆμα μοναστῶν τὸ σεβάσμιον.

Θεοτοκίον

῞Υψωσον τὸ κέρας χριστιανῶν, ἐν Σερβίᾳ Μῆτερ πρεσβείαις σου, πρὸς τὸν Δεσπότην, σὺν δυάδι τῇ σεπτῇ, ῾Οσίων ὧν συνάντησιν, σήμερον φαιδρῶς ἑορτάζομεν.

᾿Ωδὴ ε΄. ᾿Εξέστη τὰ σύμπαντα.

Μωρίᾳ ὑπήχθητε, τῇ τοῦ Σταυροῦ μακάριοι, Πνεύματι ῾Αγίῳ σοφισθέντες, καὶ ταπεινώσει, πολλῇ δουλεύσαντες, Σάββα ἱερὲ καὶ Συμεών, νίκην ἐνικήσατε, κατ᾿ ἐχθροῦ τοῦ ὑψαύχενος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐγένου γεννήτορος, πατὴρ ὦ Σάββα ὅσιε, τοῦτον εἰς τὸ Σχῆμα ὁδηγήσας· τροπὴ πραγμάτων γὰρ ἐν τῇ χάριτι, γίγνεται καὶ φύσις τῶν βροτῶν, δέχεται ἀλλοίωσιν, προτυποῦσαν τὰ μέλλοντα.

Ὠλένας ὑπήνοιξας, πατρί σου Σάββα τίμιε, ἐν Βατοπαιδίῳ κατελθόντι, καὶ ἀντιδώρως, τοῦτον ἐμύησας, εἰς τῶν μοναστῶν τὴν βιοτήν, γηραιὸν ὡς φοίνικα, καὶ νέασαντα Πνεύματι.

Θεοτοκίον

Νοῦς χάριν δεχόμενος, Παρθένε ὕλης αἴρεται, καὶ καρπογονεῖ χριστογονίαν, δι᾽ ἧς ἑνοῦται, τῷ ἐκ σοῦ φύσαντι, καὶ βιοῖ ἐντεῦθεν μυστικῶς, ἄῤῥητα μυστήρια, τοῦ αἰῶνος τοῦ μέλλοντος.

Ὠδὴ ς΄. Τὴν θείαν ταύτην.

Σὺ Σάββα ὅμοιος γέγονας, ἐκείνῳ Συμεὼν τῷ βαστάσαντι, ὡς βρέφος τέλειον, τὸν ποιητὴν πάσης κτίσεως, πατέρα κεκμηκότα, ὑποδεξάμενος.

Ὑφάνθη ὕφασμα πάντερπνον, ὡς στήμων ὑφαδίῳ συνάπτεται, ἐκ συναντήσεως, Σάββα υἱοῦ χριστοθάλλοντος, καὶ Συμεὼν τιμίου, πατρὸς ἐν Ἄθωνι.

Νεάζων Σάββα τῷ σώματι, φρονήσεως κατεῖχες τὸ πλήρωμα, διὸ ἐστήριξας, τὸν γηραιόν σου γεννήτορα, τὸν ζῆλον ὑπανάπτων, αὐτοῦ πρὸς ἄσκησιν.

Θεοτοκίον

Ἁγνείᾳ κόσμησον Δέσποινα, τοὺς Ὄρος κατοικοῦντας τοῦ Ἄθωνος, καὶ διαφύλαττε, πάντας βελῶν πολεμήτορος, ἀτρώτους σαῖς πρεσβείαις, πρὸς τὸν Ὑπέραγνον.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ναῦς νεότευκτος, εἰς Ἄθωνα κατέπλευσας, Σάββα φιλόθεε, ἐν ᾧ πληθὺν ἀρετῶν, πλουσίως συνήγαγες μετὰ ὁσίου πατρός, ὃν συνέριθον, ἐν τῇ ἀσκήσει εὕρηκας, καὶ ὁμόψυχον ἐν πᾶσι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν εὐπείθειαν, τηρῶν ὦ Σάββα ὅσιε πρὸς τὸν πατέρα σου, ὡς τῷ Πατρὶ ὁ Υἱός, ἀντίδωρον εἴληφας, τὴν εὐλογίαν αὐτοῦ, καὶ γεγόνατε, ὑπόδειγμα ἑνότητος, μονασταῖς τοῖς ἐν τῷ Ἄθῳ.

Ἡ γλυκύτης σου, τῶν τρόπων κατεγλύκανε, τραχὺ ἀσκήσεως, τοῦ γηραλαίου πατρός, καὶ ὕλην ἐπέῤῥιπτε πρὸς καῦσιν μείζονα, Σάββα μέγιστε, διὸ ἡ Χάρις ἔδειξε, τοῦτον θεῖον μυροβλύτην.

Θεοτοκίον

Σῶσον Δέσποινα, κατὰ τὴν σὴν ὑπόσχεσιν, Ὄρους οἰκήτορας, καὶ μοναστὰς ταπεινούς· ἐχθρὸν γὰρ κεκτήμεθα τὸν πανουργότατον, οὗ τὰ ἔνεδρα, ὡς κνώδαλα διάλυε, ταῖς θερμαῖς σου ἱκεσίαις.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἴσην παλαιοῖς πατράσι, τὴν ἄσκησιν ἔχοντες μακάριοι, ἴσων ἠξιώθητε, δωρεῶν τῆς χάριτος, παθῶν ἀποκαθαράντες ὑμῶν ψυχὰς θαυμαστῶς, καὶ Κυρίου ἔμψυχα γενόμενα, Συμεών τε καὶ Σάββα ἀντίτυπα.

Νόσον τῆς δοξομανίας, ὡς ῥάκος ψυχοβλαβὲς μακάριοι, ἄμφω ἀπεβάλετε, καὶ στολὴν θεώσεως, προθύμως ἐφορέσατε, τῇ ταπεινώσει Χριστοῦ, δι᾽ ἧς δόξης, στέφος ἀπειλήφατε, Συμεών τε καὶ Σάββα αἰώνιον.

Ἄγλωττος ὑμῶν ἡ κηρυκεία, τοῖς Σέρβοις ἐγένετο σοφοί, θαυμάσασι τὴν δύναμιν, ἀποταγῆς καὶ σπεύσασι, ἀκολουθῆσαι ὄπισθεν, ἐσταυρωμένου Χριστοῦ, ὡς γενέσθαι, σύνταγμα ἐν Ἄθωνι, τῇ ὑμῶν ὁδηγίᾳ πειθόμενον.

Θεοτοκίον

Ἵνα μεγαλύνωμεν Παρθένε, τὴν δόξαν ἣν δέδωκέ σοι Κύριος, τὰς καρδίας ἄνοιξον, καὶ τὰ χείλη κάθαρον, σεραφικῶς τῷ ἄνθρακι, τῶν σῶν δεήσεων, ὅτι ἄλλως, Μῆτερ οὐ δυνάμεθα, ἐπαξίως σοὶ φθέγξασθαι ᾄσματα.

Ὠδὴ θ΄. Ἅπας γηγενής.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νέος Ἰωσήφ, ἐγένου μακάριε ὑποδεχθεὶς ἐν Χριστῷ, εἰς τὸ Βατοπαίδιον, τὸν σὸν γεννέτην πρεσβύτην τίμιον, ᾧ τὰ τροφεῖα ἔδωκας, τῆς σῆς γεννήσεως, Σάββα θεῖε, καὶ καλῶς ὑπήλειψας, πρὸς ἀόρατον πόλεμον λόγοις σου.

Ἔδειξεν ὑμῖν, δι᾽ ὀμφῆς τὸ θέλημα Κυρία Ἄθωνος, ἵνα ἀνεγείρητε, Χιλανδαρίου Μάνδραν τὴν ἔνδοξον, καὶ Ταύτῃ ὡς ἀνάθημα ἀφιερώσητε, ἔνθα πλήθη, μοναζόντων ἤθλησαν, καὶ ὡς δῶρον Θεῷ προσηνέχθησαν.

Σὲ ὡς Ἰεσσαί, ἄλλον λογιζόμεθα ὦ Συμεὼν ἱερέ, ὅτι ἐξ ὀσφύος σου, ἐξῆλθε νέφος Ἁγίων πάνδροσον, καὶ γὰρ Θεὸς ἐργάζεται τὰ θαυμαστὰ δι᾽ ἑνός, ὅπως δείξῃ, δύναμιν ἀήττητον, τῆς Αὐτοῦ συνεργίας πιστεύουσι.

Ὢ δυὰς σεπτή, Συμεὼν θειότατε καὶ Σάββα θαυματουργέ, ἐν Χριστῷ ἱστάμενοι, ἀπαύστως ἄμφω καθικετεύετε, ὑπὲρ Μονῆς συνάντησιν, ἑορταζούσης ὑμῶν, καὶ ἁπάντων, οἵτινες προσφεύγουσι, τῇ ὑμῶν μεσιτείᾳ καὶ χάριτι.

Θεοτοκίον

Αἴνεσιν μικράν, προσδέχου Πανάμωμε ὡς τέκνου ψέλλισμα, καὶ μὴ ἀποῤῥίψῃς με, ἀπὸ προσώπου τοῦ γλυκυτάτου σου, ἀλλὰ ἀεὶ βοήθει μοι, τῷ καθ᾽ ἑκάστην πολλά, τὸν Δεσπότην, Μῆτερ παροργίζοντι, μετανοίας διδοῦσα ἐχέγγυα.

## Ἐξαποστειλάριον, εἰδικόν.

Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Λαμπρῶς πανηγυρίζοντες, Συμεών τε καὶ Σάββα, τὴν ἐνταυθὶ συνάντησιν, ἐν τῇ Βατοπαιδίου, συμφώνως ἀναβοῶμεν· θεῖοι ἡμῶν Πατέρες, δεῦτε τὰς χεῖρας ἄρατε, πρὸς Χριστὸν τὸν Δεσπότην, καὶ ἐκτενῶς, τοῦτον ἱκετεύσατε ὑπὲρ πάντων, τῶν Ὀρθοδόξων Ὅσιοι, καὶ τοῦ γένους τῶν Σέρβων.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Μεγαλυνάρια*

Ὥς ποτε τὸ πάλαι ὁ Ἰωσήφ, Ἰακὼβ πρεσβύτην, ἠγκαλίσατο ἐν χαρᾷ, οὕτω θεῖος Σάββας, τὸν ἑαυτοῦ πατέρα, ἐν τῇ Βατοπαιδίου, σκιρτῶν ἐδέξατο.

Χαῖρε Βατοπαίδιον ἱερόν, ὅτι ἠξιώθης, τοῦ ξενίσαι ὁσιακήν, δυάδα Πατέρων, τοῦ Συμεὼν καὶ Σάββα, οἵτινες τὴν Σερβίαν, Χριστῷ ὡδήγησαν.

Ὦ Παντοβασίλισσα Μαριάμ, Ἄθωνος Κυρία, κατευλόγει κλῆρον τὸν σόν, σεπταῖς ἱκεσίαις, τοῦ ἱεράρχου Σάββα, καὶ Συμεὼν ὁσίου, τοῦ μύρον βλύσαντος.

**Στίχοι**

*Σάββα, Συμεών, τερπνὴ πατροτεκνία,*
*κατὰ σάρκα πνεῦμά τε μνήσθητε τέκνων.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ